


# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ ΤΗΝ ΕΠΟΝΟΜΑΖΟΜΕΝΗΝ ΙΕΡΟΣΟΛΥΜΙΤΙΣΣΑΝ

Εὐλογήσαντος τοῦ Ἱερέως, τό *Κύριε εἰσάκουσον*, μεθ᾽ ὅ τό *Θεός Κύριος*, ὡς συνήθως, καί τό ἑξῆς·

**Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.**

Τούς προσκυνοῦντας σήν ἁγίαν εἰκόνα τήν ἀχειρότευκτον, ἁγνή Θεοτόκε, ἐν τῷ πανσέπτῳ τάφῳ σου ἐν Γεθσημανῇ σκέπε καί διάσῳζε, τῶν Ἱεροσολύμων σέμνωμα, κακώσεων, ἀκηδίας, ῥαστώνης καί χαμαιζήλων ἅπαντας παθῶν, ἵνα σε πόθῳ ψυχῆς μεγαλύνωμεν.

**Δόξα. Καί νῦν.**

Οὐ σιωπήσομέν ποτέ, Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σούς γάρ δούλους σῴζεις ἀεί ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ Ψαλμός καί ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·

«Ἱεροσολυμίτισσα Θεοτόκε, βοήθει μοι. Χ.»

## Ὠδή α΄. Ὑγράν διοδεύσας.

Ἱκάνωσον πάντας τούς εὐσεβεῖς τοῦ ὄφεως τάχος, Θεοτόκε, τήν κεφαλήν συντρίψαι πτερνίζοντος τό γένος τῶν χοϊκῶν, Ἱεροσολυμίτισσα.

Ἐπίβλεψον, Μῆτερ, ἐξ οὐρανοῦ καί ἴδε τούς πόθῳ προσκυνοῦντας τήν σην μορφήν, τήν ἄνευ χειρός ἱστορηθεῖσαν βροτείου, ὦ Ἱεροσολυμίτισσα.

Ῥανίδας δακρύων μου σῶν εὐχῶν ἀπόσμηξον μάκτρῳ, εὐσυμπάθητε Μαριάμ, τοῦ σπεύδοντος χάριτί σου θείᾳ τῇ μητρικῇ, Ἱεροσολυμίτισσα.

Οὐράνωσον φρόνημα τῶν πιστῶν ποθεῖν τά ἐν πόλῳ διαμένοντα ἀκλινῶς, καί νέκρωσον λογισμούς ἀτάκτους σῶν ἱκετῶν, Ἱεροσολυμίτισσα.

## Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Σήν εἰκόνα κατεῖδε, Τατιανή, Δέσποινα, ἔκπληκτος φωτί ἠϋγασμένην, ὦ ξένου θαύματος, ἐν τῷ κελλίῳ αὐτῆς ἄνευ χρωστῆρος χρωσθεῖσαν χοϊκοῦ, Μητρόθεε, κόσμου βοήθεια.

Ὄλβος πέλει ναοῦ σου τοῦ ἱεροῦ τάφου σου τό ἀχειροποίητον, Μῆτερ, θεῖόν σου ἔκτυπον, ὅ προσκυνοῦντες πιστῶς ἀναβοῶμεν· βοήθει σέ τοῖς μακαρίζουσιν ἐν βίου κλύδωσι.

Λῦσον τῆς ἐμπαθείας σῶν ἱκετῶν ζόφωσιν καί εἰρήνην τῇ Ἐκκλησίᾳ δώρησαι, Δέσποινα, ἵνα σέ πάντες ἐνί στόματι ἀνευφημῶμεν καί μορφήν σου ἄχραντον κατασπαζώμεθα.

Ὑπερύμνητε Μῆτερ, Γεθσημανῆς σέμνωμα, σοῦ τήν ἀχειρότευκτον ὄντως κατασπαζόμενοι μορφήν βοῶμεν τρανῶς· φανέ Ἱεροσολύμων, τήν ἡμῶν σκοτόμαιναν δίωξον θλίψεων.

Εἰρήνευσον ζωήν σῶν δούλων καί σύντριψον πολεμίους ταῖς πρεσβείαις σοῦ πρός τόν σόν Υἱόν τόν εἰρήναρχον, ἀκέστορ σεμνή Ἱεροσολύμων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κακωσιν καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

**Αἴτησις καί τό Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Λιταῖς σου θερμαῖς, Ἱεροσολυμίτισσα, πιστῶν οἱ χοροί ἑκάστοτε προσφεύγοντες εὐλαβῶς κραυγάζομεν· πρός Θεοῦ αἶνον χεῖρας ἀνύψωσον ἡμῶν σήν ἀχειρότευκτον μορφήν πιστῶς προσκυνούντων, Μῆτερ ἄχραντε.

**Ὠδή δ΄. Εἰσακήκοα, Κύριε.**

Μητροπάρθενε Δέσποινα, τάφῳ ἐν πανσέπτῳ σου ἀσπαζόμενοι, Ἱεροσολύμων κλεΐσμα, σήν εἰκόνα χάριτος πληρούμεθα.

Ἱεροσολυμίτισσα, Παναγίου Τάφου τήν ἀδελφότητα, Θερμοπύλας τήν φυλάττουσαν πίστεως ἐνίσχυε καί κράτυνε.

Τήν εἰκόνα σου, ἄχραντε, τήν ἀχειροποίητον καί πανθαύμαστον προσκυνοῦντες ἀπολαύομεν πλούτου δωρεῶν τῆς συμπαθείας σου.

Ἰαμάτων ἡ χάρις σου ποταμός ἀστείρευτος ὤφθη ἅπασιν, ὦ Ἱεροσολυμίτισσα, ἀλγεινῶς νοσοῦσι, χαριτόβρυτε.

**Ὠδή ε΄. Φώτισον ἡμᾶς.**

Στήριξον ἡμᾶς ἐν τῇ πίστει βακτηρίᾳ σου προσευχῶν πρός τόν Υἱόν σου καί Θεόν τούς ὑμνοῦντάς σε, Ἱεροσολυμίτισσα.

Στέψον τούς πιστῶς προσκυνοῦντάς σου τό ἔκτυπον τό σεπτόν ἀφθάρτῳ στέφει, οὐρανῶν Βασιλίς κλεινή, Ἱεροσολυμίτισσα.

Ἄνωθεν ἡμῖν φῶς, Ἱεροσολυμίτισσα, ἐγρηγόρσεως κατάπεμψον ταχύ τοῖς ἐν ζόφῳ ἀκηδίας, φεῦ, καθεύδουσι.

Θραῦσον τούς δεσμούς ἁμαρτίας μου καί ἕλκυσον τόν σόν πρόσφυγα πρός δόμους οὐρανῶν, θεοτίμητε Ἱεροσολυμίτισσα.

**Ὠδή στ΄. Τήν δέησιν.**

Ἐπάκουσον τῆς φωνῆς δεήσεως τῶν πιστῶς ἀσπαζομένων εἰκόνα σήν ἀχειρότευκτον, Θεογεννῆτορ, Τατιανήν ἡ σῇ θέᾳ εὐφράνουσα τῇ λελουσμένῃ ἀστραπαῖς θεϊκαῖς, Ἱεροσολυμίτισσα.

Οὖς ἅπασι τάχιστα εὐήκοον κλῖνον τοῖς ἐπιζητοῦσι σήν χάριν καί σήν ἀντίληψιν καί προστασίαν, Μῆτερ Θεοῦ,

Παϊσίου ἀγλάϊσμα τοῦ Ἀθωνίτου νεαυγοῦς ἀσκητοῦ, Ἱεροσολυμίτισσα.

Τῷ ἄρτῳ με σῶν εὐχῶν διάθρεψον τόν πενόμενον οἰκέτην σου, Μῆτερ, ἡ τῶν πιστῶν οἰκονόμος ὀξεῖα καί τῶν προσφύγων σου διαχειρίστρια, σοῦ τάφου ἐν Γεθσημανῇ θησαυρέ, Ἱεροσολυμίτισσα.

Ὁδήγησον πάντων διαβήματα πρός λειμῶνας ἀφθαρσίας παντέρπνους τούς προσκυνοῦντας μορφήν σου, Παρθένε, τήν ἱλαράν, Ἱεροσολυμίτισσα, ὀμβροβλυτοῦσαν τοῖς πιστοῖς τοῦ Υἱοῦ σου τό ἄμετρον ἔλεος.

Εἰρήνευσον ζωῆν σῶν δούλων καί σύντριψον πολεμίους ταῖς πρεσβείαις σου πρός τόν σόν Υἱόν τόν εἰρήναρχον, ἀκέστορ σεμνή Ἱεροσολύμων.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον ὡς ἔχουσα μητρικήν παῤῥησίαν.

**Αἴτησις καί τό Κοντάκιον.**
**Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.**

Τήν ἀχειρότευκτον θείαν εἰκόνα σου, περικλεές Ἱεροσολυμίτισσα, διακοσμοῦσαν τόν πάνσεπτον τάφον σου πανευλαβῶς οἱ πιστοί ἀσπαζόμενοι χάριν τήν σήν δαψιλῶς ἐκδεχόμεθα.

**Προκείμενον.**

**Μνησθήσομαι τοῦ ὀνόματός Σου**
**ἐν πάσῃ γενεᾷ καί γενεᾷ.**

Στίχος. Τό πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

**Εὐαγγέλιον κατά Λουκᾶν.**

(Κεφ. α΄ 39-49, 56)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ ἐπορεύθη εἰς τήν ὀρεινήν μετά σπουδῆς εἰς πόλιν Ἰούδα, καί εἰσῆλθεν εἰς τόν οἶκον Ζαχαρίου καί ἠσπάσατο τήν Ἐλισάβετ. Καί ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τόν ἀσπασμόν τῆς Μαρίας, ἐσκίρτησε τό βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καί ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ καί ἀνεφώνησε φωνῇ μεγάλῃ καί εἶπεν· εὐλογημένη σύ ἐν γυναιξί καί εὐλογημένος ὁ καρπός τῆς κοιλίας σου. Καί πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδού γάρ ὡς ἐγένετο ἡ φωνή τοῦ ἀσπασμοῦ σου εἰς τά ὦτα μου, ἐσκίρτησε τό βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καί μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρά Κυρίου. Καί εἶπε Μαριάμ· μεγαλύνει ἡ ψυχή μου τόν Κύριον καί ἠγαλλίασε τό πνεῦμα μου ἐπί τῷ Θεῷ τῷ σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπί τήν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδού γάρ ἀπό τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός καί ἅγιον τό ὄνομα αὐτοῦ. Ἔμεινε δέ Μαριάμ σύν αὐτῇ ὡσεί μῆνας τρεῖς καί ὑπέστρεψεν εἰς τόν οἶκον αὐτῆς.

**Δόξα.**

Ταῖς τῆς Θεοτόκου, τῆς Γεθσημανητίσσης, πρεσβείαις, Ἐλεῆμον, ῥῦσαι βλάβης με πλάνου.

**Καί νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλή-

θη τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον.**
**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τό ἀνόμημά μου.

Σήν ἀχειροποίητον καί παναγίαν εἰκόνα, τήν κοσμοῦσαν τάφον σου τόν σεπτόν, Παντάνασσα, ἀσπαζόμενοι εὐλαβῶς κράζομεν· Κεχαριτωμένη, ὦ Ἱεροσολυμίτισσα, ὡς πάλαι ηὔφρανας τήν Τατιανήν κατιδοῦσάν σε μονάστριαν πυρσεύμασι περιηυγασμένην καί χάριτι χαραχθεῖσαν θείᾳ ἀφράστως ἐν κελλίῳ τῷ αὐτῆς οὕτω κἀμέ περιαύγασον φέγγει προστασίας σου.

**Ὁ Ἱερεύς.** Σῶσον, ὁ Θεός, τόν λαόν Σου...

**Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Κατ᾽ ἐχθρῶν ἀοράτων νίκας δίδου, Παρθένε, τοῖς σοί προσφεύγουσι καί πόθῳ σήν εἰκόνα τήν Ἱεροσολύμων θείαν κλῆσιν κατέχουσαν ἀσπαζομένοις πιστῶς, Κυρία Θεοτόκε.

Εὐσυμπάθητε Μῆτερ, σωφροσύνης πυξία ἡμᾶς ἀνέδειξον τούς σέ ὑμνολογοῦντας ἑκάστοτε καί πόθῳ ἐκζητοῦντας τήν χάριν σου, ἵνα τοῦ βίου σοφῶς ἀνύσωμεν τήν τρίβον.

Βάθρον τῆς παρθενίας, Παναγία Παρθένε, τούς καταφεύγοντας τῇ πανσθενεῖ σου σκέπῃ ἁγνείας μυροθήκας ἡδυπνεύστους ἀνάδειξον διώκουσα τῶν παθῶν ἡμῶν τήν δυσωδίαν.

῞Ορμον χειμαζομένων ἐν θαλάσσῃ τοῦ βίου ἀεί σε ἔγνωμεν, τῶν Ἱεροσολύμων ἐπώνυμε Παρθένε· ὅθεν πόθῳ βοῶμέν σοι· κατάπαυσον τῶν παθῶν τάς τρικυμίας, Μῆτερ.

**Ὠδή η΄. Τόν Βασιλέα.**

Ἡ ἐν ταῖς λύπαις πιστῶν χορεία, Παρθένε, τῇ σῇ χάριτι σπεύδουσα κράζει· δεῖξόν μοι ἀφάτου χαρᾶς σκηνάς, Παρθένε.

Θεογεννῆτορ, παῦσον ῥοάς τῶν δακρύων οἰκετῶν σου πιστῶς προσκυνούντων σήν μορφήν ἐν τάφῳ Γεθσημανῇ σεπτῷ σου.

Ἐν ταῖς ἀνάγκαις σέ οἰκονόμον γινώσκω καί ἰάτειραν ἐν ἀσθενείαις χαλεπαῖς ὁ πρόσφυξ τῆς χάριτός σου, Μῆτερ.

Ἱλάσθητί μοι τῷ προσκυνοῦντι μορφήν σου, ἥν βροτῶν οὐκ ἐχάραξε, Μῆτερ, χείρ, εὐλογημένη, Γεθσημανῆς κοσμῆτορ.

**Ὠδή θ΄. Κυρίως Θεοτόκον.**

Μετόχους ἀθανάτων ἀγαθῶν σούς δούλους, Μῆτερ Θεοῦ, Ἱεροσολυμίτισσα, τούς προσκυνοῦντας εἰκόνα τήν σήν ἀνάδειξον.

Οὐδόλως ἀνανεύων σχέσεως τοῦ πλάνου σήν μητρικήν, Ἱεροσολυμίτισσα, αἰτοῦμαι χάριν καί κράζω· λῦσον μου πώρωσιν.

Ἰάτρευσον πληγάς μου τοῦ τραυματισθέντος νοός ἐχθροῦ, Ἱεροσολυμίτισσα, ἀπάτῃ κράζω ὁ τάλας δοῦλος σῆς χάριτος.

Χαρᾶς ἀστασιάστου πρόξενε, Παρθένε, τῶν εὐσεβῶν, Ἱεροσολυμίτισσα, τῶν λυπηρῶν σῶν προσφύγων ἀχλύν ἐκδίωξον.

**Τό *Ἄξιόν ἐστι...* καί τά παρόντα Μεγαλυνάρια.**

Δεῦτε, ἀσπασώμεθα τήν μορφήν τῆς ἀειπαρθένου, ποιηθεῖσαν ἄνευ χειρός ἀληθῶς βροτείου ἐν Ἱεροσολύμοις, καί ἔχουσαν τήν κλῆσιν αὐτῶν τήν πάνσεπτον.

Χαίροις τῆς νεότητος ποδηγός πρός τήν σωτηρίαν καί προστάτις καί ἀρωγός σοί τῶν προσφευγόντων ἐν πάσαις βίου ζάλαις, Γεθσημανῆς κοσμῆτορ, πάνσεπτε Δέσποινα.

Τήν σεπτήν μορφήν σου, ἥν τῷ φωτί περιηυγασμένην ἐν κελλίῳ Τατιανή τῷ αὐτῆς κατεῖδεν ἐν πίστει προσκυνοῦμεν, Κυρία Θεοτόκε, ὡς ἀχειρότευκτον.

Σήν προσωνυμοῦσαν, Μῆτερ Θεοῦ, Ἱεροσολύμοις προσκυνοῦντες πανευλαβῶς θαυμαστήν εἰκόνα λαμβάνομεν ἀφθόνως τήν ἐξ αὐτῆς τοῖς πᾶσι χάριν ἐκβλύζουσαν.

Δεῦτε, ἀσπασώμεθα εὐλαβῶς σήν σεπτήν εἰκόνα ἐν τῷ τάφῳ Γεθσημανῆ, Ἱεροσολύμων λαμπράν προσωνυμίαν τήν φέρουσαν, Παρθένε, Θεογεννήτρια.

Παρειμένον ἤγειρας θαυμαστῶς ἐν τῇ Βουλγαρίᾳ καί ἠνέωξας ὀφθαλμούς ἐν αὐτῇ ἀρτίως τυφλῆς κατασπασθείσης σόν ἔκτυπον, Παρθένε, τό ἀχειρότευκτον.

Δεῖξον τοῖς προστρέχουσιν εὐλαβῶς σῷ πανσέπτῳ τάφῳ προσκυνῆσαι τήν σήν μορφήν τρίβον τήν εὐθεῖαν ἀπάγουσαν πρός πόλον, τῶν Ἱεροσολύμων κλέος, Παντάνασσα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετά τῆς Θεοτόκου ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

**Τό Τρισάγιον καί τό Ἀπολυτίκον.**
**Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.**

Βοηθῆσαι σοῖς πρόσφυξι σπεῦσον, Δέσποινα, τοῖς εὐλαβῶς προσκυνοῦσι ἐν τάφῳ Γεθσημανῇ τῷ πανσέπτῳ σήν μορφήν ἀχειροποίητον, ὀμβροβλυτοῦσαν δαψιλῶς ἰαμάτων ὀχετούς καί νάματα συμπαθείας τοῖς σέ ὑμνοῦσι, Παρθένε, λαμπρῶς, Ἱεροσολυμίτισσα.

**Ἐκτενής καί Ἀπόλυσις,**
**μεθ᾽ ἥν ψάλλομεν τό ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Σήν ἀχειροποίητον μορφήν, Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου, κατασπαζόμενοι θησαυρόν ὑπάρχουσαν ὄντως πολύολβον τοῦ ναοῦ τοῦ ἁγίου σου ἐν τάφῳ σεπτῷ σου δύναμιν λαμβάνομεν τήν ἀποῤῥέουσαν ἐξ αὐτῆς καί πόθῳ βοῶμεν· Χαῖρε, Παναγία Παρθένε, ἀγλαή Ἱεροσολυμίτισσα.

**Ἦχος πλ δ΄.**

Δέσποινα, πρόσδεξαι τάς δεήσεις τῶν δούλων σου καί λύτρωσαι ἡμᾶς ἀπό πάσης ἀνάγκης καί θλίψεως.

**Ἦχος β΄.**

Τήν πᾶσαν ἐλπίδα μου εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ,

φύλαξόν με ὑπό τήν σκέπην σου.

**Δίστιχον.**

Εἰρηναῖον, Ἱεροσολυμίτισσα,
Πατριάρχην σκέπε, βοᾷ Χαραλάμπης.

**ΤΕΛΟΣ**
**ΚΑΙ ΔΟΞΑ**
**ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ**
**ΘΕΩ ΗΜΩΝ**

